σατο αὐτὸν, καὶ φησὶν, ἔχεις μικρὰ κτήνη μισθώσασθαι,
ἢ πωλῆσαι, Ζήνας εἶπεν, οὔ, σωμάτιον δὲ ἔχω ἀρρενι-
κόν. εἰ οὖν θέλεις, ἀγόρασον. καὶ ὁ ἔμπορος, δεῖξόν μοι αὐ-
τό. ὁ δὲ Ζήνας στείλας ἐκάλεσεν Αἴσωπον, καὶ φησὶ τῷ
ἐμπόρῳ, ἰδοὺ ὁ παῖς, εἰ θέλεις, ἀγόρασον. στραφεὶς δὲ ὁ
ἔμπορος, καὶ τὸν Αἴσωπον ἰδὼν, μέγα γελάσας, εἶπε, πό-
θεν σοὶ ἡ χύτρα αὕτη, ῥιζοκάλαμόν ἐστιν, ἢ ἄνθρωπος
οὗτος τῆς τερατομαχίας σαλπιστὴς ἐστί. βαβαὶ, εἰ μὴ φω-
νὴν εἶχεν, εἴρηκα τὶς, ὅτι ἀσκοκήλη ἐστίν. ὦ Ζήνα, μό-
νον τῆς ὁδοῦ με πεπλάνηκας ἕνεκεν τοῦ καθάρματος τούτου,
δοκῶν τι ἀγαθὸν πιπράσκειν. καὶ ταῦτα εἰπὼν, ἐπορεύετο.
Καταδραμὼν δὲ αὐτὸν ὁ Αἴσωπος, εἶπε, μεῖνον μικρόν. ὁ
δὲ πρὸς αὐτὸν, ἔξελθε ἀπ᾽ ἐμοῦ, ῥερυπασμένε, ἄφες με,
μηδέν σοι τῶν ἀγαθῶν γένοιτο, ὅτι ἐὰν σε ὠνήσωμαι,
καλέσουσί με περατήρημα. Αἴσωπος λέγει, καὶ τίνος
ἕνεκεν ἐλήλυθας ἐνθάδε, εἰπέ μοι. Καὶ ὁ ἔμπορος,